UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Maximi Tyrii philosophumena

### Maximus

### Lipsiae, 1910

XV

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2966

Visual Library

# *IE'*

## XV (Duebn. XXI vulg. 5 B 18)

ιη' *Τίς ἀμείνων βίος, ὁ πρακτικὸς ἢ ὁ θεωρητικός; ὅτι ὁ πρακτικός.*

Ia *Χαλεπὸν εὑρεῖν ἀκριβῆ βίον, ὥσπερ ἄνδρα· ἀλλὰ
παντὶ ἀνακέκραται ἔνδειά τις πρὸς τὸ ἄκρως καλόν,
καὶ πλεονεκτεῖ ἕτερος ἑτέρου, ὅτῳ ἂν ἐλάττω τὰ ἐν-*
b *δέοντα ᾖ. Καὶ ἴδοις ἂν τὸν μὲν γεωργικὸν μακαρί-
ζοντα τοὺς ἀστικούς, ὡς συνόντας βίῳ χαρίεντι καὶ
ἀνθηρῷ· τοὺς δὲ ἀπὸ τῶν ἐκκλησιῶν καὶ τῶν δικα-
στηρίων, καὶ τοὺς πάνυ ἐν αὐτοῖς εὐδοκίμους, ὀδυρο-
μένους τὰ αὑτῶν, καὶ εὐχομένους ἐπὶ σκαπάνῃ βιῶναι*
c *καὶ γηδίῳ σμικρῷ. Ἀκούσῃ δὲ τοῦ μὲν στρατιωτικοῦ
τὸν εἰρηνικὸν εὐδαιμονίζοντος, τοῦ δὲ ἐν εἰρήνῃ τὸν*
d *στρατιωτικὸν τεθηπότος. Καὶ τὶς θεῶν, ὥσπερ ἐν*

---

**5** *χαλεπὸν εὑρεῖν* vi. or. 33. 1 a al. ‖ **8** *καὶ ἴδοις* sq. cf. Horat. sat. I 1 Hippocr. ep. 17 *ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην, ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείης, ὁ πολιτευόμενος τὸν χειροτεχνεῦντα ὡς ἀκίνδυνον, ὁ δὲ χειροτέχνης ἐκεῖνον ὡς ἐντονεῦντα κατὰ πάντων* Heinze de Horat. Bion. imit. 15 Crusius Mus. Rhen. 43. 465 Kiessling ad Hor. sat. I 1 Gercke Mus. Rhen. 48 p. 42 *πολεμοῦντες πλέοντες γεωργοῦντες δικαζόμενοι* etiam Lucian. Icarom. 12 Themist. 22. 266 b; 21. 257 a vi. etiam or. 36. 6 b sq. ‖ **15** *καὶ τὶς θεῶν* vi. simil. or. 34. 1 b ‖ **15** — p. 183. 1 *ὥσπερ ἐν δράματι* spectat cynicam illam de vitae dramate imaginem qua usus est or. 1. 1 a et 10 a

---

Codices RB (usque ad p. 192. 1 *φυτόν*) MN*α* (= Stephanus) *φ* (= Paccius); H (teste Davisio)

---

**1** *IE'* R! ‖ **3** in mge *ιη'* R! | *τίς* — **4** *πρακτικός* RHZ (teste Schenkl) *ὅτι ὁ πρακτικὸς βίος ἀμείνων τοῦ θεωρητικοῦ λόγος ε' φα* add. *τοῦ αὐτοῦ* M (in mge *ε^{ον'}*) N om. (spat. rubric. relicto) B ‖ **5** *ὥσπερ καὶ ἄνδρα α(δΔ)* ‖ **6** *ἄκρον* B ‖ **7** *ὅτε* B *ὅσῳ* Markl. ‖ **11** *αὐτοῖς*] *ἀστοῖς* Markl. ‖ **15** *καὶ εἴ τις θεῶν φα(δΔ)* sed vi. ad or. 16. 2 k *οὐδὲ γὰρ* sq.

δράματι ὑποκριτάς, ἀποδύσας ἕκαστον τοῦ παρόντος
72b βίου καὶ σχήματος μετ|αμφιέσει τὰ τοῦ πλησίον· αὖθις
αὖ οἱ αὐτοὶ ἐκεῖνοι ποθήσουσι μὲν τὰ πρότερα, ὀδυ-
ροῦνται δὲ τὰ παρόντα. Οὕτω δυσάρεστόν τι ἐστὶν e
ὁ ἄνθρωπος κομιδῇ, καὶ φιλαίτιον, καὶ δεινῶς δύσ-
κολον· καὶ οὐδὲν τὰ αὑτοῦ ἀσπάζεται.

Καὶ τὰς μὲν τῶν πολλῶν ὀρέξεις τὲ καὶ δυσαρε- IIa
στήσεις τί χρὴ σκοπεῖν; οὐ μᾶλλον ἢ τὰς τῶν θρεμ-
μάτων· τοὺς δὲ ἐν φιλοσοφίᾳ καὶ πάνυ ἄν τις ἢ μέμ- b
ψαιτο, ἢ οἰκτείραι· οἳ κομῶντες ἐπὶ φρονήσει, καὶ
τέχνῃ βίου, καὶ ἐπι‖στήμῃ λόγου, οὔπω γε νῦν Ed. Duebn. p. 83
παύονται στασιάζοντες πρὸς αὑτοὺς καὶ πρὸς ἄλλους,
καὶ ἀμφισβητοῦντες ποίῳ σχήματι βίου φέροντες αὐ-
τοὺς ἐγχειροῦσιν· ἀλλὰ ἀτεχνῶς ἐοίκασιν κυβερνήταις c
παρεσκευασμένοις μὲν πρὸς πλοῦν, καλῷ μεγέθει ὁλ-
κάδος, καὶ κατασκευῇ ὑγιεῖ, καὶ πλήθει ὀργάνων, καὶ
ὑπηρεσίας ἀκριβείᾳ, καὶ τέχνης ἀσφαλείᾳ, καὶ ἕρματος
συμμετρίᾳ, ἐν δὲ τῇ τοῦ πλοῦ χρείᾳ πλανωμένοις, καὶ d

---

**11** τέχνη βίου est enim philosophia ἐπιστήμη περὶ τὸν βίον cf. Muson. (Hense) p. 10. 6 Wendland quaest. Muson. 12. 2 ‖ **12** παύονται στασιάζοντες vi. or. 11. 5 a etiam or. 33. 1 c cf. Sext. Emp. math. IX 173 Lucian. Herm. 14 et 48 vi. etiam sophistarum διαγωνίαν or. 30. 1 d ‖ **15** παρεσκευασμένοις sq. spectat similitudinem quam copiosius exposuit or. 30. 3 b sq.

---

**14** ἐοίκασιν — **18** συμμετρίᾳ p

---

**4** οὕτω (τω in ras. ex τοι) R! ‖ **6** οὐδὲν] οὐδεὶς Dav.² | τὰ] τῶν α(ϑ) | αὐτοῦ BHMN ‖ **9. 10** μέμψαιτο (αιτο in ras.) R! ‖ **10** οἰκτεῖραι MN cum R! ‖ **12** αὐτοὺς BMN ‖ **13. 14** ἑαυτοὺς B αὐτοὺς φα(δΔ) ‖ **14** ἐγχειροῦσιν (ἐγχ- in ras. ex ἐνχ-) R! ἐγχειριοῦσιν cett. (δΔ) | ἀτέχνως α! | ⟨ἐκεῖνοι δὲ⟩ ἐοίκασι p ‖ **15** παρασκευασαμένοις B παρεσκευασμένοι p | καλῶς Reiske (Duebn.) om. p ‖ **17** ὑπηρεσιῶν nescio unde Δ°

ἀποροῦσιν πῇ τράπωνται, πολλῶν μὲν ὑποφαινομένων
e λιμένων, πάντων δὲ ἀπιστουμένων. Τοὺς μὲν ἄλλους
ἐῶμεν χαίρειν αὐτοῖς βίοις, τὸν μὲν ἐν ἡδονῇ τηκό-
μενον, τὸν δ' ἐν γῇ πονούμενον, τὸν δὲ ἐν θαλάττῃ
πλανώμενον, τὸν δὲ ἐν ὅπλοις μισθοφοροῦντα, τὸν δὲ
ἐν ἐκκλησίαις βοῶντα, τὸν δὲ ἐν δικαστηρίοις φυρό-
f μενον· ὥσπερ δὲ ἐν ἀγῶνι σωμάτων οἱ μὲν ἀσθενεῖς
καὶ παρὰ τὸ εἰκὸς ἐπιτολμήσαντες τῇ τοῦ νικᾶν ἐλπίδι
τάχυ ἀπεῖπον, οἱ δὲ ἐφάμιλλοι ἀρετῇ μένουσιν καὶ
καρτεροῦσιν καὶ διαγωνίζονται περὶ τῆς νίκης· οὕτω
κἀν τῇ τῶν βίων ἀγωνίᾳ οἱ μὲν ἄλλοι ἡμῖν ἐκκηρυχ-
θέντες τε καὶ ἀπαγορεύσαντες οἰχέσθωσαν· οἱ δὲ θεω-
ΛΖ' ρητικοῖς ἐφαμίλλω ὄντε καὶ ἀμφισβητησίμω δεῦρο ἰόν|- 73a
g των ἀγωνιουμένω τὰ νῦν τῷ λόγῳ. Πότερος τοίνυν
πρότερος ἡμῖν τοῖς δικασταῖς τὰ αὑτοῦ δίεισιν; ἐγὼ
μὲν οἶμαι, ὅτι ὁ πρακτικός· θαρσαλέος γάρ, καὶ ἰτητι-
κώτερος, καὶ ἐθὰς ὁμιλεῖν τοῖς πολλοῖς· λέγοι δὲ ὧδε.
III a *Εἴ τις ἡμᾶς παριόντας εἰς τὸν βίον ὥσπερ ἄρχων
πόλεως ἢ οἰκιστής, οὐκ εἴα βαδίζειν εἴσω πυλῶν, πρὶν
πυθέσθαι τὸ ἑκάστῳ ἔργον, καὶ τίνα ἕκαστος ἥκει

---

**7** ὥσπερ ἐν ἀγῶνι sq. vi. simil. or. 1. 5 c ‖ **18** εἴ τις sq. simil. cf. Plat. legg. 658 a εἴ ποτέ τις sq.

---

**2** τοὺς μὲν — 6. 7 φυρόμενον p

---

**1** ὑποφανομένων (suprascr. ι) R! ‖ **2** μὲν ἄλλους R!MNp μὲν οὖν ἄλλους cett. (δΔ) ‖ **3** τὸ μὲν p ‖ **4** δὲ ἐν B(θ) ‖ **7** ἐν (ante ἀγῶνι) in ras. R! om. B non fuit igitur in archetypo ‖ **12. 13** οἱ δὲ θεωρητικὸς τε καὶ πρακτικὸς ἐφαμίλλω B ὁ δὲ θεωρητικὸς καὶ ὁ πρακτικὸς ἐφαμίλλω φα(δΔ) θεωρητικοῖς del. Schenkl ‖ **13** in mge ΛΖ' numerus quaternionis R! | ἀμφισβητητικὼ Reiske ‖ **15** αὐτοῦ BMN ‖ **16** θαρσαλέος (εος in ras.) R! ‖ **17** λέγει HBMN et ita Hahn Knebel | δὲ] δ' ἂν α(δ) om. HB ‖ **20** τὸ ἑκάστου Bα(θ) τί ἑκάστῳ Dav.[2] (Duebn.) sed cf. Dürr. l. l. p. 22

χρείαν εἰς κοινὸν φέρων τῇ πόλει, οἶμαι ἂν εἰπεῖν
τὸν μὲν οἰκοδόμον, ὅτι λίθους ἐν τάξει διὰ τέχνης
ἁρμόσας, πρός τε χειμῶνα καὶ θάλπος ἀποχρῶντα μη-
χανήσεται τοῖς οἰκοῦσιν ἐρύματα· τὸν δὲ ὑφάντην, b
ὅτι μίτοις καὶ στημονίοις σὺν ὕφει ἐσθήματα ἐργασά-
μενος, σκέπην ὁμοῦ ποριεῖ καὶ εὐσχημοσύνην τοῖς σώ-
μασιν· τέκτων δὲ ἄροτρον φήσει, ἢ σκίμποδα, ἤ τι c
ἄλλο τῶν ὅσα ἡ τέχνη παρέχει, ξυνεισφέρειν· καὶ ὁ d
χαλκεύς, ὅσα χαλκοῦ ἢ σιδήρου δεῖσθαι πολεμιστήριά
τε καὶ εἰρηναῖα τῆς τέχνης ἔργα. Καὶ ὅσα πρὸς ἡδο- e
νὴν δημιουργεῖται, καὶ ταῦτα ὡς τὸ εἰκὸς εἰσδέξεται·
γραφέας μὲν καὶ δημιουργοὺς ἀγαλμάτων, ἐπὶ εὐφρο-
σύνῃ ὀφθαλμῶν· μυροπώλας δὲ καὶ ὀψοποιούς, χυμῶν
καὶ ὀδμῶν δημιουργοὺς γενναίους· καὶ ὅσαι δι' αὐλη-
μάτων, ἢ δι' ᾠδῆς, ἢ ψαλμάτων, ἢ χορῶν τὸ τερπνὸν
μηχανῶνται τῇ ἀκοῇ. Ἤδη δέ τις καὶ ἐπὶ γελοίου f
χρείᾳ παρελεύσεται, καὶ ἄλλος ἐπὶ θαυμάτων, καὶ
ἄλλος λόγων. Ὁμήρῳ δὲ καὶ τὸ τοῦ Νιρέως κάλλος
ὥραν ἔσχεν καὶ ταῦτα ἐν στρατοπέδῳ. Ἀσύμβολος g
δέ, ὡς ἔπος εἰπεῖν, παρέρχεται οὐδεὶς εἰς τὸν βίον·
ἀλλ' ὁ μὲν χρείαν τινὰ παρεχόμενος, ὁ δὲ τέχνην, ὁ δὲ
ἡδονήν.

---

2 οἰκοδόμος . . ὑφάντης . . τέκτων . . χαλκεὺς exempla Socratis Platonici more ficta ‖ 18 Νιρέως κάλλος vi. or. 35. 1 c cf. Lucian. Tim. 23 dial. mort. 9. 4; 18. 1 al. Iulian. 8. 250 b

---

4 ὑφαντην (sine acc.) R ὑφαντήν MN (Steph.) ‖ 5 συνυφῇ Markl. (recte?) συνυφέσιν Reiske | ἐσθῆτα B ‖ 6 ὁμοῦ καὶ εὐσχημοσύνην πορίεῖ τοῖς B ‖ 8 ξυνεισφέρειν (suprascr. ν) R συνεισφέρειν B ‖ 9 δεῖται Bα(δΔ) ‖ 11 ἐκδέξεται (in mge corr.) B ‖ 14 ὅσα Markl. ὅσοι Dav.[2] ‖ 17 παρεκαλεύσεται α! παρακαλεύσεται δ corr. Markl. παρακληθήσεται Steph. ‖ 18 τὸ (ante τοῦ) om. MNα(δ) | Νιρέως Bφ Νηρέως cett. (δΔ°) corr. Dav.[2] ‖ 19 χώραν Steph. (Δ)

IV a Εἶεν. Εἰς τί τούτων τὸ τοῦ φιλοσόφου ἔργον
καταστησόμεθα; ὅτι μὲν γὰρ οὐκ ἀχρεῖος ἡμῖν οὐδὲ
κηφὴν παρέρχεται, ἄνθρωπος δὲ ὢν ξύν|νομος καὶ 73b
b συνεργάτης κοινοῦ νόμου, παντὶ δῆλον. Τί δέ ἐστίν
ποτ' αὐτὸ τὸ τῆς κοινωνίας συμβόλαιον, καὶ ποῦ τάτ-
Ed. Duebn. p. 84 τωμεν τὸν ‖ ἄνδρα; εἰς τοὺς δημιουργούς, ὡς τὸν
Τυχεῖον; εἰς τοὺς ὀψοποιούς, ὡς Μίθαικον; εἰς τοὺς
εὐφραίνοντας, ὡς Φρυνίωνα; εἰς τοὺς γελωτοποιούς,
c ὡς Φίλιππον; εἰς τοὺς δημαγωγούς, ὡς Κλέωνα; ἢ
ἄφιλος καὶ ἀνέστιος ἡμῖν ἀνὴρ πλανήσεται; ἀλλ' ἔστιν
μέν τι αὐτοῦ ἔργον· ὅ,τι δέ ἐστιν τοῦτο, οὐκ ἴσμεν.
d 'Ἡσυχίαν ἄγω, φησίν, καὶ ἀνασκοπῶ πρὸς ἐμαυτὸν τὰ
e ὄντα, καὶ ἀληθείας ἐμπίμπλαμαι.' Μακάριος τῆς πολ-
λῆς σχολῆς· σύ μοι δοκεῖς καὶ νεὼς ἐπιβὰς μὴ ὅτι κυ-
βερνήτης γενέσθαι, ἀλλ' οὐδὲ ἐρέτης, οὐδέ τις τῶν
διαθεόντων καὶ ξυνεπιλαμβανόντων τῇ σωτηρίᾳ τῆς

---

3 ἄνθρωπος δὲ ὢν ut or. 1. 7 c | ξύννομος vi. or. 29. 7 i ‖ 7 Μίθαικον vi. or. 17. 1 a sq. or. 33. 5 c cf. Plat. Gorg. 518 b Themist. 21. 251 Aristid. or. 45. 144; 46. 317 Athenaeus 3. 112 b sq. ‖ 9 Φίλιππον cf. Xenoph. conv. I 11 Plut. qu. conv. 2 praef. al.

---

4 τί δέ ἐστίν — 13 ἐμπίμπλαμαι p

---

7 in mge Τυχεῖος | Μύθαικος (sic!) | Φρυνίων | Φίλιππος | Κλέων (schol. rec.) R!

---

1 τούτων (ω in ras.) R! ‖ 3 παρεισέρχεται Scaliger ‖ 4 ξυνεργάτης Nα(δ) | νομοῦ Reiske πόνου Markl. | δέ] δή Markl. ‖ 5 αὐτῷ p et ita Markl. (Duebn.) | σύμβολον Markl. | τάττομεν Mp ‖ 7 Τύχιον B et ita Leopardus (Emendat. XVII 2) (Δ) ‖ 8 Φρύνιδα Dav.¹ cum Leopardo Σώφρονα (vel Σαννυρίωνα) Dav.² ‖ 9 ὡς Φίλιππον — δημαγωγούς om. p ‖ 10 ἄφυλος Bφα (δΔ) | ⟨ὁ⟩ ἀνὴρ B Markl. ἁνὴρ Dürr Knebel ‖ 11 μὲν τὸ B μέντοι MN ‖ 13 ἐμπίπλαμαι ς(δΔ°) ‖ 15 ἐρέτης] ἀρετῆς MN (in mge corr.)

νεώς, ἀλλ' οὐδὲ ἐπιβάτης εὐκίνητος, οἷος ἢ καλωδίου ἐπιλαβέσθαι, ἢ προσάψασθαι κώπης ἐν γαλήνῃ· ἀλλά τις τῶν εἰκῇ κειμένων καὶ φερομένων, αὐτὸ τοῦτο, ἄχθος νεώς. Ἢ οἴει ἧττόν τι δεῖσθαι πόλιν τῶν ξυλλη- f ψομένων αὐτῇ πρὸς τὴν σωτηρίαν ἢ ναῦν ἐν θαλάττῃ; καὶ πολύ γε οἶμαι μᾶλλον ἐν γῇ· εἰ μὲν γὰρ ⟨πλέομεν,⟩ g ὀλίγον τὸ ἐνεργόν, ὁ δὲ φόρτος πολύς· πόλις δέ ἐστιν πρᾶγμα ἀνακεκραμένον πάντων ξυνεργατῶν. Καθάπερ καὶ ἡ τοῦ σώματος χρεία, πολυμερής τε οὖσα καὶ πολυδεής, σώζεται τῇ συντελείᾳ τῶν μερῶν πρὸς τὴν ὑπηρεσίαν τοῦ ὅλου· φέρουσιν πόδες, ἐργάζονται χεῖρες, ὁρῶσιν ὀφθαλμοί, ἀκούουσιν ἀκοαί, καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων.

Εἰ δὲ θελήσαι λογοποιὸς Φρὺξ μῦθον πλάττειν, Va ὅτι ἄρα δυσχεράνας ὁ ποῦς τῷ ἄλλῳ σώματι καὶ ἀπαγορεύσας πρὸς τὸν κάματον, φέρων καὶ αἰωρῶν μετέωρον τοσοῦτον ἄχθος, σχολὴν ἄγειν καὶ ἡσυχίαν 74a ἐπανείλετο· ἢ | αὖ τῷ γομφίῳ, ὡς ἀλοῦντι καὶ ἐργαζο-

---

**10** συντελείᾳ τῶν μερῶν vi. or. 5. 4 f cf. Epict. diss. II 9. 4 ‖ **14** μῦθον cf. Liv. II 32 Mus. Rhen. 14. 120 Norden ann. Fleck. 18. 278

---

**3. 4** αὐτὸ τοῦτο ἄχθος νεὼς Apost. IV 34 (= Arsen. IV 25) quae verba excipiunt ἐπὶ τῶν εἰκῇ κειμένων καὶ μηδὲν ἐνεργούντων μήτε αὐτῶν ἐπὶ σωτηρίᾳ μήτε ἄλλων cf. etiam Eustath. 1896. 43 τὸ δὲ ἄχθος παροιμιῶδες μέν ἐστιν

---

**2** προάψασθαι (suprascr. σ) R! ‖ **4. 5** ξυλληψομένων (υλλ in ras.) R! ‖ **5** αὐτῇ ⟨ἐν γῇ⟩ πρὸς Heins. ‖ **6** ἐν γῇ· εἰ μὲν] ἐν νηὶ μὲν Reiske (Duebn.) ἐν γῇ· ἐκεῖ μὲν Dav.$^{2}$ (Duk.) ἐκεῖ μὲν Markl. | γὰρ (post μὲν) om. MN φ α(δ) ‖ **6. 7** ⟨πλέομεν,⟩ ὀλίγον Hob. ‖ **7** οὐδ' ὁ φόρτος Markl. ‖ **8** ⟨ἐκ⟩ πάντων α(δΔ) ἐκ παντοίων Reiske | ξυεργατῶν (suprascr. ν) R! συνεργατῶν N α συνεργούντων δ ‖ **9** τε] τις Reiske ‖ **17** ἄειν R! ‖ **18** ἐπανείλετο (ετ in ras.) R! | τῷ γομφίῳ (scil. αἰτία τοῦ δυσχεραίνειν)] τὼ γομφίω φ α(δΔ) | ἀλοῦντε α(δΔ) | ἐργαζομένω α(δΔ)

μένῳ τροφὴν τοσούτῳ ὄχλῳ ἀργῶν· κᾆτα ἔροιντο,
ἀπειπαμένων τὸ ἔργον τὸ αὑτῶν σκοπεῖν, εἰ ταῦτα
ἅμα γίγνοιτο· ἄλλό τι ἢ φθαρήσεται ὁ ἄνθρωπος ἐν
b τῷ μύθῳ; Τοιοῦτο ἀμέλει ἐστὶν τὸ περὶ τὴν κοινωνίαν
τὴν πολιτικὴν γιγνόμενον· εἰ γὰρ ἐθελήσαι ἕκαστος
ὄκνῳ τοῦ πωλεῖν ἀφέμενος τοῦ παράγειν ἐπαναχωρεῖν
ἐκ τῆς κοινωνίας πρὸς τὴν αὑτοῦ σχολήν, τί κωλύει
c διαλυθῆναι τὸ πᾶν καὶ φθαρῆναι; Ἢ τὰ μὲν ἰσχυρὰ
τῶν οἰκοδομημάτων τῇ πρὸς ἄλληλα ξυννεύσει τῶν
ἐν αὐτοῖς λίθων ξυνδέδεται καὶ ἕστηκεν καὶ μένει, εἰ
δὲ ἐξέλοις ὅ,τι οὖν τῆς ἁρμονίας, διαλύσεις τὸ πᾶν·
τὸν δὲ ξύμπαντα βίον οὐχ ἡγεῖ τὴν σωτηρίαν ἔχειν
ἐκ τῆς πρὸς ἑαυτὰ ξυννεύσεως τῶν ἐν αὐτῷ μερῶν;
d Καὶ τῶν μὲν ἄλλων τοῦ πράττειν ἐξισταμένων οὐδεὶς
λόγος· οὐδὲ γὰρ ὁ Θερσίτης λιποτακτῶν ἐλύπησεν ἂν
τὸ Ἑλληνικόν· ὁ δὲ Ἀχιλλεὺς ὁ μηνίσας καὶ ἐπὶ σκη-
νῆς ἀναπαυόμενος, καὶ δοὺς αὑτὸν σχολῇ καὶ κιθάρᾳ
καὶ τῇ ᾠδῇ, ἀνέπλησεν τὸ στρατόπεδον πολλῶν κακῶν·
οὗ γὰρ παρόντος ὠφελεῖσθαι ὑπάρχει, ἀπόντος τούτου
e βλάπτεσθαι ἀνάγκη. Καὶ τὸ νῦν ὁ θεωρίαν καὶ ἀλή-

---

**1** ὄχλῳ ἀργῶν vi. or. 16. 4 g τὸ ἀργὸν τοῦτο πλῆθος ‖ **15** ὁ Θερσίτης ut or. 1. 5 c

---

**5** εἰ γὰρ — 8 φθαρῆναι p ‖ **19** οὗ γὰρ — 20 ἀνάγκη np

---

**1** ὄγκῳ Steph. | ἀργῶν Hob. ἀρκῶν codd. ἀρκοῦσαν Steph. (δ) σαρκῶν φ R (litt. σ add. man. recentissima) Δ | ἔροιντο (scil. homines, philosophi ut or. 12. 4 f προστιθέντων)] ἕλοιντο φα(δ) αἱροῖντο Reiske (Duk.) ‖ **2** ἀπειπαμένω α(δΔ) | αὑτῶν BM αὐτὸ N ‖ **3** ἅμα] ἄρα Markl. sed intellege 'num id una fieri posset' pendente εἰ ex verbo ἔροιντο | τί ἄλλο α(ϑ) ‖ **4** τοιοῦτον N (ν postea add.) et ita Reiske ‖ **6** πολεῖν Dav.[2] πονεῖν Steph. | παράγειν] πράττειν Markl. ‖ **7** αὐτοῦ MNBp | κωλύοι φα(ϑ) ‖ **8** ἦ Δ° ‖ **9** ἀλλήλας Dav. ἀλλήλους Markl. | ξυνεύσει MN ‖ **11** ἐξέλοις (οις in ras.) R! θέλεις B ‖ **12** ἡγῇ ς(δΔ°) ‖ **13** ξυνέσεως Heins. ‖ **15** λειποτακτῶν ς(δΔ°) ‖ **17** αὐτὸν BMN ‖ **18** καὶ ᾠδῇ nescio unde ϑ ‖ **20** τανῦν α(δ)

ϑειαν καὶ σχολὴν ἀσπαζόμενος τίς ἂν εἴη ἄλλος, ἢ ὁ
φρόνιμος καὶ νοῦν ἔχων; Ἀλλὰ τί οὖν· ὁ μὴ κυβερ- f
νητικώτατος ἐξίσταται τῆς αὐτοῦ ἕδρας τοῖς ἀτεχνο-
τάτοις, καὶ ὁ στρατηγὸς ἐξίσταται τῆς ἀρχῆς τοῖς ἀν-
αρχοτάτοις; Τί δὲ καὶ τὴν ἀρχὴν σεμνὸν τὸ τἀληϑῆ g
εἰδέναι, καὶ τεταμιεῦσϑαι ἐν τῇ ψυχῇ ϑησαυρὸν ἄγο-
νον καὶ ἀργὸν καὶ ἄκαρπον, μηδὲν αὐτῆς ὀνίνασϑαι ‖ Ed. Duebn p. 85
μέλλοντα μηδὲ ὠφελήσειν ἑτέρους; πλὴν εἰ μὴ καὶ h
74b ἀκοὴ καλόν, | ἵνα ἔχωμεν, οὐχ ἵνα ἁρμονίας καὶ φωνῆς
συνῶμεν· καὶ ὄψις καλόν, ἵνα ἔχωμεν, οὐχ ἵνα ἴδωμεν
τὸ τοῦ ἡλίου φῶς· καὶ ὁ πλοῦτος καλόν, κἂν ἔχει τὶς
αὐτὸν κατορύξας ἐν γῇ, ϑησαυρὸν ἀργόν.

Συνελόντι δ' εἰπεῖν, τίς ὄνησις τοῦ εἰδέναι, εἰς VIa
ἅπερ συντελεῖ τὸ εἰδέναι; τίς χρεία ἰατρῷ τῆς τέχνης,
μὴ ὑγιάζοντι κατὰ τὴν τέχνην; τίς χρεία Φειδίᾳ τῆς
τέχνης, μὴ προστιϑέντι αὐτὴν τῷ ἐλέφαντι καὶ τῷ
χρυσῷ; Σοφὸς ἦν δήπου καὶ ὁ Νέστωρ· ἀλλὰ ὁρῶ τὰ b

---

**6. 7** *ἄγονον καὶ ἀργὸν καὶ ἄκαρπον* = or. 11. 5 e *ἐκτετμημένον* sq. or. 34. 4 a vers. finem ‖ **13** *τίς ὄνησις* sq. vi. or. 27. 3 a cf. Epict. diss. I 1. 1 Stob. ecl. II 130 Hierax ap. Stob. fl. 9. 58 Muson. ap. Stob. fl. 29. 78 ‖ **14** *ἰατρῷ* sq. vi. or. 27. 3 a Stob. ecl. II 130 Muson. ap. Stob. fl. 29. 78 ‖ **15** *Φειδίᾳ* vel in universum *ἀγαλματουργικῇ* ut or. 27. 3 a vers. finem cf. Hierax ap. Stob. fl. 9. 58

---

**14** *τίς χρεία* — **17** *χρυσῷ* n

---

**1. 2** *ὁ φρόνιμος*] *ὁμόφρονος* B ‖ **2** *ἔχων; οὐκ ἄλλος· τί οὖν* Reiske | *ὁ μὴ*] *μὴ ὁ* φ α(Δ) ‖ **4** *στρατηγικὸς* Markl. (Duebn.) *στρατηγικώτατος μὴ* Reiske | *ἀναρχικώτατος* Markl. ‖ **6** *ψυχῇ* (*ῇ* in ras. ex *ῆς*) R! ‖ **7** *καὶ ἀργὸν* om. B | *μηδ'* Reiske | *αὐτοῖς* BN *αὐτοῦ* φ α(ϑ) *αὐτὴν* (*ὀνήσειν*) vel *αὐτῶν* (*ὀνῆσαι*) Dav.[2] | *ὀνήσασϑαι* MN α(ϑ) *ὀνήσειν* Reiske ‖ **8** *ὀφελήσειν* R! ‖ **10** *συνιῶμεν* α(ϑ) ‖ **11** *ἔχει* R! (postea mutatum) B (vi. ad p. 98. 14) *ἔχῃ* cett. (δ Δ) ‖ **13. 14** ⟨*μὴ*⟩ *εἰς ἅπερ* BH ⟨*εἰ μὴ*⟩ *εἰς ἅπερ* (*ἔργα*) Hahn cum Knebelio (Dav.[2]) ⟨*μὴ ποιοῦντα* (vel *ἐργαζομένῳ*)⟩ *εἰς ἅπερ* Heins. ‖ **14** *συντελεῖ* (*ει* in ras.) R! | *ἰατρῷ τῆς*] *ἰατρικῆς* B ‖ **17** *χρυσῷ*] *χρησμῷ* B

τῆς σοφίας ἔργα, σωτηρίαν στρατοπέδου, εἰρήνην πό-
c λεως, παιδῶν πειθώ, δήμου ἀρετήν. Σοφὸς ἦν ὁ
Ὀδυσσεύς· ἀλλ' ὁρῶ τὰ ἔργα, τοῦτο μὲν ἐν γῇ, τοῦτο
δὲ ἐν θαλάττῃ·

(α 3) πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω,
(α 5) ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.

d Καὶ πρὸς τούτῳ ἔτι ἦν σοφὸς ὁ Ἡρακλῆς· ἀλλὰ οὐχ
αὑτῷ σοφός, ἀλλὰ ἐπὶ πᾶσαν γῆν καὶ θάλατταν ἡ σοφία
ἔτεινεν. Οὗτος ὁ θηρίων καθάρτης, οὗτος ὁ τυράννων
σωφρονιστής, ὁ δουλείας ἐλευθερωτής, ὁ ἐλευθερίας
νομοθέτης, ὁ δικαιοσύνης βεβαιωτής, εὑρετὴς νόμων,
e ἀληθευτὴς λόγων, κατορθωτὴς ἔργων. Εἰ δὲ ἤθελεν
ὁ Ἡρακλῆς ἐπαναχωρήσας καθ' ἡσυχίαν βιοῦν, καὶ
σχολὴν ἄγειν, καὶ διώκειν σοφίαν ἀπράγμονα, ἦν ἂν
δήπου ἀνθ' Ἡρακλέους σοφιστής, καὶ οὐδεὶς ἂν αὐ-
f τὸν ἐτόλμησεν εἰπεῖν παῖδα Διός. Οὐδὲ γὰρ ὁ Ζεὺς
σχολὴν ἄγει· ἦ γὰρ ἂν ἐπαύσατο καὶ οὐρανὸς περι-
φερόμενος· καὶ γῆ τρέφουσα, καὶ ποταμοὶ ῥέοντες, καὶ
δεχομένη θάλαττα, καὶ ὧραι ἀμείβουσαι, καὶ Μοῖραι

**3** *Ὀδυσσεύς . . . Ἡρακλῆς* = or. 34. 8 a, b ‖ **5** *πολλῶν* sq. vi. or. 16. 6 c ‖ **15** *σοφιστής* cf. Themist. *π. ἀρετῆς* 27. 480 Weber Leipz. stud. X 240 ‖ **16** *παῖδα Διός* vi. or. 34. 8 b ‖ **16. 17** *οὐδὲ ὁ Ζεὺς σχολὴν ἄγει* vi. or. 8. 8 a Epicurum petit ut or. 4. 9 b ‖ **17** *οὐρανὸς περιφερόμενος* sq. scil. *ἔργα θεοῦ* vi. or. 11. 5 d ‖ **19** *ὧραι ἀμείβουσαι* nam *ὡρῶν ταμίας* est vi. or. 41. 2 b | *Μοῖραι* vi. or. 13. 9 a, b

**9** *οὗτος — καθάρτης* v (: *καθάρτης*) ‖ **12** *ἀληθευτὴς — ἔργων* v (: *καθάρτης*)

**3** *μὲν* in ras. R! ‖ **5** *καὶ* ÷ *νόον* R! ‖ **7** *τούτων* MN *τούτοις* φα(θ) ‖ **8** *τὴν σοφίαν* φα(δ) ‖ **9** *καθαρτής* v[1] (Duebn.) ‖ **15** *ἂν* (post *οὐδεὶς*) om. ς(δΔ°) ‖ **17** *ἦ* (in ras. R!) *γὰρ*] *καὶ* (mutat. in *εἰ*) *γὰρ* B ‖ **19** *δεχομένη*] *διαχεομένη* Markl.

*διαλαγχάνουσαι, καὶ Μοῦσαι ᾄδουσαι· ἐπαύσαντο δ'*
*ἂν καὶ αἱ ἀνθρώπων ἀρεταί, καὶ ζῴων σωτηρίαι, καὶ*
75a *καρπῶν γενέσεις, καὶ τὸ πᾶν* | *τοῦτο αὖθις ἂν περὶ*
*αὑτῷ σφαλλόμενον συνεχύθη καὶ συνεταράχθη. Ἀλλ'* g
*ἡ Διὸς πραγματεία ἄτρυτος οὖσα καὶ διηνεκὴς καὶ*
*ἀκοίμητος, καὶ μηδέποτε ἀπαγορεύουσα, μηδὲ ἐπανα-*
*χωροῦσα τοῦ ἑαυτῆς ἔργου, ἀέναον χορηγεῖ τὴν σω-*
*τηρίαν τοῖς οὖσιν. Οὕτω που καὶ βασιλέων τοῖς* h
*ἀγαθοῖς καὶ Διὶ ὁμοίοις παραινεῖ δι' ὀνειράτων ὁ Ζεύς,*

(B 24/25) *οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,*
*ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.*

*Πρὸς ταῦτα ἀπιδὼν ὁ φιλόσοφος, μὴ τὸν Δία μι-* VII a
*μείσθω, μὴ τὸν Ἡρακλέα, μὴ τοὺς ἀγαθοὺς βασιλεῖς,*
*μὴ τοὺς ἄρχοντας, ἀλλὰ βιούτω βίον ἀνδρὸς ἐν ἐρημίᾳ*
*γεννηθέντος, μονωτὴν βίον, οὐκ ἀγελαστικόν· Κυκλώ-*
*πιον βίον, οὐκ ἀνθρώπινον. Ἀλλὰ καὶ τούτοις ἔφερεν* b
*μὲν ἡ γῆ πυροὺς καὶ κριθάς,*

---

**1** *Μοῦσαι ᾄδουσαι* = or. 38. 2 a ‖ **5** *ἄτρυτος* sq. vi. or. 41. 2 d | *διηνεκὴς* cf. Iulian. IV 143 a *ὑπάρχει τἀγαθὰ καὶ διηνεκῶς* ‖ **7** *χορηγεῖ* nam *χορηγὸς ζωῆς* Themist. 9. 126 c vi. etiam or. 41. 2 b *τὸν ποταμῶν χορηγόν* ‖ **7. 8** *τὴν σωτηρίαν* unde *σωτὴρ* dictus cf. Themist. 9. 126 c; 5. 64 c ‖ **8** *οὕτω* sq. cf. Ps. Plut. vit. Hom. 178 *καὶ ὅτι δεῖ τὸν ἄρχοντα πρὸ τῶν ἄλλων φροντίζειν τῆς πάντων σωτηρίας ἐν τῷ αὐτῷ προσώπῳ διδάσκει ᾧ καὶ παραινεῖ 'οὐ χρὴ'* sq. Dio Chr. I 14 Iulian. II 87 (e Plat. legg. VII 808 b) ‖ **15. 16** *Κυκλώπιον βίον* cf. Philostr. imag. I 9 Strabo 11. 502

---

**14** *ἀλλὰ* — 15 *ἀγελαστικόν* v ( : *μονώτης*)

---

**15** *μονωτὴν* in mge repetit. (vet. schol. *α*) R!

---

**1** *διαλαγχάνουσαι* (*λα* in ras.) R! | *ᾄδουσαι* (*ᾄ* in ras.) R! ‖ **3** *αὖθις αὖ* Dav.[2] Markl. ‖ **4** *αὐτῷ* MN *αὐτὸ* B ‖ **9** *ὁ* (ante *Ζεὺς*) om. N*α*(*ϑ*) ‖ **11** *μέμηλε α*(*ϑ*) ‖ **12** *ἐπιδὼν α*(*δ*) ‖ **15** *μονώτην* BNv*α*(*ϑ*) | *οὐ γελαστικόν* Nv ‖ **15. 16** *Κυκλώπειον φα*(*δΔ*)

(ι 108) *οὔτε φυτεύουσι χερσὶ φυτόν, οὔτ' ἀρόωσιν·*

*ἀλλὰ θεμιστεύει ἕκαστος ὁμῶς καὶ παίδων καὶ γυναι-
κῶν, καὶ οὐ παντάπασιν ἀπράγμων ἦν. Τὸ δὲ ὅλον,*
c *ἀπραγμοσύνη τίνος ἄλλου εἴη πλὴν νεκροῦ; Εἰ μὲν
οὖν τὸ πράττειν ἔρημον ἦν ἀρετῆς, καλῶς εἶχε, διώ-*
Ed. Duebn. p. 86 *κοντας τὴν ‖ ἀρετήν, ἀπολείπεσθαι αὐτοῦ· εἰ δ' ἔστιν
ἀνθρώπου ἀρετὴ οὐ λόγος, ἀλλ' ἔργον, καὶ πρᾶξις ἐν
κοινωνίᾳ, καὶ χρῆσις βίου πολιτική, διωκτέον ταῦτα,
μεθ' ὧν ἄν τις καὶ τὴν ἀρετὴν λάβοι.*

(Hes. erg. 287) *Τὴν μὲν γὰρ κακότητα καὶ εἰλαδόν
ἔστιν ἑλέσθαι,*

*ὁ Βοιώτιος ποιητὴς λέγει,*

(Hes. erg. 289) *τῆς δὲ ἀρετῆς ἱδρῶτα θεοὶ προπά-
ροιθεν ἔθηκαν.*

*Καλός γε ὁ ἀγωνιστὴς ἡμῖν ἀνιδρωτεὶ στεφανοῦσθαι
ἐθέλων.*

VIII a *Ἀλλὰ τῷ προσαπτομένῳ πραγμάτων κίνδυνος ἕπεται,
καὶ ζημία, καὶ ἐπιβουλαί, καὶ φθόνοι, καὶ φυγαί, καὶ θά-*
b *νατοι, καὶ ἀτιμίαι. Φέρε οὖν, εἰ καὶ τῷ κυβερνήτῃ ὁ λο-
γισμὸς οὗτος ἦν, ὅτι τὸ πλεῖν ἐπισφαλές, κινδύνων με|στὸν* 75b
*καὶ πόνων, καὶ πολλοῦ τοῦ ἀδήλου, καὶ χειμώνων, καὶ*
c *πνευμάτων· φέρε, εἰ καὶ τῷ στρατηγῷ τοιοῦτος λογισμὸς*

---

**15** *ἀνιδρωτεὶ στεφανοῦσθαι* vi. or. 3. 4 b et simil. or. 1. 6 b *ἀκονιτεὶ νικᾶν*

---

**4. 5** *εἰ μὲν οὖν* — **9** *λάβοι* n

---

**1** *φυτεύουσιν χερσὶν Δ* cum Homero | cum *φυτόν* desinit B (sequuntur XX folia alba) ‖ **2** *ὁμῶς* R!N *ὅμως* cett. (*δΔ*) ‖ **4** *τίνος ἂν ἄλλου α*(*δ*) ‖ **6** *αὐτῆς* n (pr. man.) ‖ **10** *μὲν γὰρ* (cum Xenophonte Plutarcho Stobaeo cf. Rzachii Hesiod. p. 113)] *μέντοι* Hesiodus | *ἱλαδόν α*(*δ*) *ἰλαδόν Δ* ‖ **13** *δὲ* (in ras.) R! *δ' α*(*δΔ*) Hesiodus ‖ **15** *ἀνιδρωτὶ α*(*δΔ*) ‖ **17** *προσαπτομένῳ* (*σα* in ras.) R!

ἦν, ὅτι ἄδηλοι μὲν αἱ τοῦ πολέμου τύχαι, τὸ δὲ σφαλερὸν ἐπ' ἀμφοῖν ἴσον, ἐν ποσὶν δὲ ὁ κίνδυνος, καὶ ὁ θάνατος πλησίον· τί τοίνυν ἐκώλυεν ἐκ τούτων τῶν d
λογισμῶν ἄπλουν μὲν εἶναι τὴν θάλατταν, ἐλευθερίας δὲ μηδὲ ὄναρ μετέχειν τοὺς πολλοὺς ἀπορίᾳ στρατηγῶν, τὸν δὲ ξύμπαντα βίον εἶναι μηδὲν σκωλήκων διαφέροντα, δειλὸν καὶ ἀργὸν καὶ ἐπτηχότα; Σαρδα- e
ναπάλλου μοι βίον λέγεις, Ἐπικούρου μοι βίον λέγεις. Ἀντιθῶμεν αὐτοῖς, Κῦρον μὲν Σαρδαναπάλλῳ, τὸν f
Πέρσην τῷ Ἀσσυρίῳ, ὅς, ἐξὸν αὐτῷ σχολὴν ἄγειν καὶ καθ' ἡσυχίαν βιοῦν, εἵλετο ἐλευθεροῦν τὸ Περσῶν γένος, πονῶν καὶ στρατευόμενος καὶ διψῶν καὶ λιμώττων, καὶ μὴ ἀνεὶς τὸν κάματον, μήτε νύκτωρ, μήτε μεθ' ἡμέραν. Ἀντίθες καὶ Ἐπικούρῳ πολλούς, g
Ἕλληνι Ἕλληνας· ἐκ μὲν Ἀκαδημίας Πλάτωνα, ἐκ δὲ στρατοπέδου Ξενοφῶντα, ἐκ δὲ τοῦ Πόντου Διογένην.

Οὐκοῦν ὁ μὲν ὑπὲρ ἀνδρὸς φίλου, φυγάδος καὶ IXa
πένητος, μεγάλῃ καὶ ἰσχυρᾷ τυραννίδι ἀντετάξατο, γῆν πολλὴν βαδίζων, καὶ πέλαγη περαιούμενος, καὶ ἀπεχθανόμενος τῷ τυράννῳ, καὶ ἐκπίπτων, καὶ κινδυνεύων, ἵνα

---

**7. 8** *Σαρδαναπάλλου* sq. in ceteris *δι' ἡδονὴν* petiti vi. or. 7. 7 b et e sq. sed vi. or. 4. 9 f *ἀλλ' οὐδὲ Σ. ἀπράγμων ἦν* ‖ 8 *Ἐπικούρου βίον* scil. non *ἡδονικὸν* ut or. 30. 3 a al. sed *θεωρητικὸν* cf. Iulian. ep. ad Them. 259 b *ἆρά σοι φαίνεται τὴν Ἐπικούρου θαυμάζειν ἀπραγμοσύνην* sq. ‖ **15** *Πλάτωνα . . Ξενοφῶντα . . Διογένην* etiam or. 34. 9 b sq. vi. quoque or. 1. 10 e

---

**15** in mge *Πλάτων* | *Ξενοφῶν* | *Διογένης* (schol. rec.) R!

---

**1** *τὸ ÷ δὲ* R! ‖ **2** *δὲ*] *δὴ θ* corr. Markl. ‖ **5** *μηδὲ* om. MN *φα(δ) μηδ'* Steph. *οὐδὲ* Heins. | *πολλοὺς*] *πολίτας* Markl. ‖ 7 *ἀρ ∵ ÷ γὸν* R! om. Duk. | *καὶ* (ante *ἐπτηχότα*) om. Duk. ‖ **11** inde ab *ἡσυχίαν* usque ad p. 194. 3 *Πρόξενος* alia manu M ‖ **15** *ἐπὶ* (pro *ἐκ*) *μὲν* nescio unde *δ* corr. Markl.

μὴ προδῷ τὸ φιλοσοφίας ἦθος· ἐξῆν δέ που αὐτῷ ἐν
b Ἀκαδημίᾳ θεωρεῖν, καὶ ἀληθείας ἐμπίμπλασθαι. Ξενο-
φῶντα δὲ καλεῖ μὲν Πρόξενος, παραπέμπει δὲ ὁ
Ἀπόλλων, συνεκπέμπει δὲ ὁ Σωκράτης ἐκ τῆς πολλῆς
σχολῆς καὶ θεωρίας, ἐπὶ στρατείαν, καὶ στρατηγίαν,
c καὶ σωτηρίαν Ἑλλήνων μυρίων. Τὰ δὲ Διογένους τί
χρὴ λέγειν; ὃς ἀφέμενος τῆς αὑτοῦ σχολῆς περιήει
ἐπισκοπῶν τὰ τῶν πλησίον, οὐκ ἀρ|γὸς οὐδὲ ἠμελη- 76a
μένος ἐπιστάτης· ἀλλὰ κατὰ τὸν Ὀδυσσέα ἐκεῖνον,

d (B 188/9) ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
τόν ῥ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
(B 198/9) ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
τὸν σκήπτρῳ ἐλάσασκεν·

e ἀλλ' οὐδ' ἑαυτοῦ ἀπείχετο, ἀλλ' ἐκόλαζεν καὶ παρεῖχεν
ἑαυτῷ πράγματα,

(δ 244/5) αὑτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών. ||

X a Ed. Duebn. p. 87 Ἐῶ λέγειν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ πράττων καὶ
μὴ ἐπαναχωρῶν, μηδὲ ἐξιστάμενος τοῖς μοχθηροῖς,
ἑαυτὸν ἂν σώζοι, καὶ τοὺς ἄλλους ἐπὶ τὸ βέλτιστον

---

7 περιήει sq. ut Socrates vi. or. 3. 7 a περιϊέναι sq. et quae ibi adnotavi || 8 οὐκ ἀργὸς οὐδὲ ἠμελημένος ut or. 1. 8 e || 10 ὅντινα sq. vi. or. 26. 5 f || 17 αὑτὸν sq. de eodem Diogene vi. or. 34. 9 e

---

1 ἐξὸν Heins. | δέ που] δήπου α(δ) corr. Heins. || 2 ἐμπίπλασθαι ut semper ς(δΔ°) || 3 προπέμπει Markl. || 3. 4 ὁ (ante Ἀπόλλων) om. MN α(δ) || 6 μυριάδων MN α(δ) corr. Markl. || 7 αὐτοῦ MN || 11 τόν ῥ'] τὸν δ' α(ϑ) Homerus || 15 οὐδὲ αὐτοῦ MN α(δ) corr. Markl. οὐδὲ αὑτοῦ Steph. (Heins.²) || 16 αὐτῷ MN αὑτῷ α(δΔ°) || 17 αὐτὸν MN Homerus | μὲν] μὶν α(δΔ) Homerus || 19 ὅτι μὲν N α(δ) corr. Markl. || 20 τοὺς μοχθηρούς Reiske || 21 βέλτιον MN α(δΔ°)

τρέποι· ἐπαναχωρῶν δὲ καὶ δεικνὺς τὰ νῶτα, θρασύ-
τητος μὲν καὶ ἀπειροκαλίας καὶ τόλμης τὸ μοχθηρὸν
πᾶν ἂν ἀπέπλησεν, τὸ δὲ ἑαυτοῦ προΐεται.

(Θ 94) *Ποῖ φεύγεις μετὰ νῶτα βαλών, κακὸς ὥς, ἐν ὁμίλῳ;*

*Μένε*, καὶ ἵστασο, καὶ ἀνέχου τῶν βλημάτων, καὶ μη-
δὲν ἐκπλαγῇς· δειλὸν τὸ τῶν πολεμίων στρατόπεδον, b
κενὰ τὰ βλήματα, ἐπιόντα σε οὐδεὶς δέξεται, φεύγοντα
πάντες βαλοῦσιν, ὡς τὸν Αἴαντα οἱ Τρῶες, ὡς τὸν
Σωκράτην Ἀθηναῖοι ἔβαλλον, καὶ οὐκ ἀπέσχοντο αὐ-
τοῦ, πρὶν κατέβαλον. Πῶς ἂν οὖν τις βιώῃ ἀσφαλῶς c
ἐν μέσοις ὢν τοῖς πολεμίοις; οὐδὲν γὰρ πολεμιώτερον
ἀνδρὸς ἀρετῇ μοχθηρίας ἀμφιλαφοῦς. *Συνυποσταλείς*, d
φησὶν ὁ Σωκράτης, *ὑπὸ τειχίον*, τοὺς ἄλλους ὁρῶν
ζάλῃ καὶ ἀμηχανίᾳ κυκωμένους. Δεῖξον, ὦ Σώκρατες, e
ἀσφαλὲς τειχίον, ἔνθα στὰς ὑπερόψομαι τῶν βλημά-
των· ἐὰν δέ μοι τοιοῦτον τειχίον λέγῃς, ᾧ καὶ σὺ
ὑπεστάλης, ὁρῶ τὰ βλήματα, Ἀνύτους πολλούς, Μελή-
76b τους πολλούς· ἁλώσι|μον τὸ τειχίον.

---

**13. 14** *συνυποσταλεὶς . . ὑπὸ τειχίον* sq. cf. Plat. republ. VI 496 d *ὑπὸ τειχίον ἀποστάς* sq. Plut. de fort. 2 Themist. 8. 104 c; 24. 308 a; al. quae collegit Wyttenbach ad Plut. cf. etiam Senec. dial. II 1 'in illum verticem qui adeo extra teli iactum surrexit ut supra fortunam emineat'

---

**3** *πᾶν ἀνέπλησε α(δ)* et ita Meiser *πᾶν ἀπέπλησε* Dav.[2] *πᾶν ἐνέπλησε* Duk. ‖ **4** *ποῖ*] *πῇ* Homerus ‖ **8. 9** *φεύγοντα δὲ πάντες* Reiske ‖ **10** *οἱ Ἀθηναῖοι* M*α*(*δ*) | *ἔβαλον* N*α*(*δΔ*) ‖ **11** *κατέβαλλον* R! (man. ant.) M ‖ **14** *ὑπὸ τὸ τειχίον* N*α*(*δ*) | *ὁρῶ φα*(*θ*) ‖ **18. 19** *Μελίτους φα*(*θ*) ‖ **19** *πολλούς* (*λλ* in ras.) R! | *ἁλώσιμον* (*λ* in ras.) R!